*Diua Clytæmnestre Tyndaris interimit.*

12 Menelai.

*Felix ô Menelae, expers leti seniíque,*
*Dialísque gener, prata per Elysia.*

13 Nestoris, Pyli.

*Nestora, cordatæ mentísque senē, ingeniíque*
*Diuini, Pylium contego grande decus.*

14 Aliud.

*Consultis nulli cedentem Nestora regem*
*Semideo Pylium continet hic loculus.*

15 Antilochi, ad Troiam.

*Nestoris Antilochi virtutísque ecce sepulchrum,*
*Troiæ seruato qui genitore perit.*

16 Agapenoris, in Cypro.

*Ancæo Tegeæ prognatum Agapenora, regem*
*Peltati Taphij, post sua fata tego.*

17 Amphimachi & Dioris, ad Troiam.

*Princeps Amphimachus Cteato satus atque Diores*
*Hoc Troiæ fortes oppetiere solo.*

18 Thalpij & Polyxeni, Elide.

*Thalpius ecce simúlque Polyxenus Elide dia*
*Morte obita, Ditis sic petiere domum.*

19 Megetis in cenotaphio, Dulichij.

*Philidæ hæc acri monumenta dedere Megeti*
*Dulichij: corpus nobile pontus habet.*

20 Vlyssis, in Tyrrhenia.

*Prudentem celebrémque virum post aspera fata*
*Hoc gratus tumuli cespite cælat honor.*

21 Aliud.

*Quem propter felix experta est Græcia bellum,*
*Illius hic tumulus clarus Vlyßis erit.*

22 Thoantis.

*Magnanimi gnatum hæc Andræmonis, & pater Oeneus*
*Cui fuerat Gorges, arida puluis habet.*

23 Idomenei & Merionis, Cnossi.

*Idomenei Cnoßi monumentum cernitis: ast hunc*
*Iuxta sum positus Meriones Molius.*

24 Tlepolemi, Rhodi.

*Herculis hæc prolem robustam magnanimámque,*
*Tlepolemū, cōdit fluctibus orta Rhodus.*

δῖα Κλυταιμνήστρη Τυνδαρὶς οὐχ ὁσίως.

Ἐπὶ Μενελάου.

Ὄλβιος, ὦ Μενέλαε, σύ τ' ἀθάνατος καὶ ἀγήρως,
ἐν μακάρων νήσοις γαμβρὲ Διὸς μεγάλου.

Ἐπὶ Νέστορος κειμένου ἐν Πύλῳ.

Τὸν βαθυώσιν ψυχήν τε νόημά τε θεῖον ἔχοντα
ἄνδρ' ἀγαθὸν κατέχω, Νέστορα τὸν Πύλιον.

Ἕτερον.

Νέστορα τὸν Πυλίων ἡγήτορα ἤδε θανόντα
γῆ κατέχει, βουλῇ φέρτατον ἡμιθέων.

Ἐπὶ Ἀντιλόχου κειμένου ἐν Τροίῃ.

Μνῆμ' ἀρετῆς υἱοῦ τοῦ Νέστορος, Ἀντιλόχοιο,
ὃς θάνεν ἐν Τροίῃ ῥυσάμενος πατέρα.

Ἐπὶ Ἀγαπήνορος.

Ἀργὸς ὅδ' ἐκ Τεγέης Ἀγαπήνωρ, Ἀγκαίου υἱός,
κεῖθ' ὑπ' ἐμοὶ Ταφίων πελτοφόρων βασιλεύς.

Ἐπὶ Ἀμφιμάχου καὶ Διώρου.

Ἀρχός τ' Ἀμφίμαχος Κτεάτου παῖς ἠδὲ Διώρης,
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖραν ἔχουσι βίου.

Ἐπὶ Θαλπίου καὶ Πολυξένου, κειμένων ἐν Ἤλιδι.

Οἵδε Πολύξεινος καὶ Θάλπιος Ἤλιδι δίῃ
δμηθέντες κρατεροῦ δῶμ' Ἀΐδαο ἔβαν.

Ἐπὶ κενοταφίου Μέγητος, ἐν Δουλιχίῳ.

Μνῆμα Μέγητι θοῷ, μεγαθύμου Φυλέος υἱῷ,
Δουλίχιοι τεῦξαν· σῶμα δὲ πόντος ἔχει.

Ἐπὶ Ὀδυσσέως, κειμένου ἐν Τυρρηνίᾳ.

Ἀνέρα τὸν πολύμητιν ἐπὶ χθονὶ τῇδε θανόντα,
κλεινότατον θνητῶν, τύμβος ἐπεσκίασεν.

Ἕτερον.

Οὗτος Ὀδυσσῆος κείνου τάφος, ὃν διὰ πολλὰ
Ἕλληνες πολέμῳ Τρωικῷ εὐτύχεσαν.

Ἐπὶ Θόαντος.

Υἱὸν ὑπερθύμου Ἀνδραίμονος ἠδὲ θυγατρὸς
Γόργης τ' Οἰνέως ἥδε κόνις κατέχει.

Ἐπὶ Ἰδομενέως καὶ Μηριόνου, κειμένων ἐν Κνωσσῷ.

Κνωσίου Ἰδομενῆος ὅρα τάφον. αὐτὰρ ἐγὼ τοι
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.

Ἐπὶ Τληπολέμου κειμένου ἐν Ῥόδῳ.

Ἁ δ' Ἡρακλείδην ῥηξήνορα θυμολέοντα
Τληπόλεμον κατέχει κυματόεσσα Ῥόδος.

Ἐπὶ